UiO : **Institutt for filosofi, idé- og kunsthistorie og klassiske språk**
Det humanistiske fakultet

# EKSAMEN I GRE1401 Attisk prosa HØST 2016

Oppgaven består av 2 sider.

Onsdag 19. oktober (4 timer) **Ingen hjelpemidler**

## Alle spørsmål skal besvares

Lysias 7, 11–14

[§11] Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. φησὶ δὲ ὁ κατήγορος ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν ὑπ᾽ ἐμοῦ ἐκκεκόφθαι. ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρότερον ἐργαζόμενοι καὶ πολλὰ ἔτη παρ᾽ ἐμοῦ μεμισθωμένοι μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς ἄν τις φανερώτερον ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον; οὐ γὰρ οἷόν τε, ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον ἐργαζόμενον ἀφανίζειν. [§12] ἐγὼ τοίνυν, ὦ βουλή, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ καὶ οὐδὲν ἂν εἰκῇ καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μᾶλλον λέγεσθαι ἢ ὥς μοι προσῆκε· νῦν δὲ πάντας ἂν ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν, ἵνα ἡγῆσθέ με σκοπεῖν, εἴπερ τοιούτοις ἔργοις ἐπεχείρουν, καὶ ὅ τι κέρδος ἐγίγνετο τῷ ἀφανίσαντι καὶ ἥτις ζημία τῷ ποιήσαντι, καὶ τί ἂν λαθὼν διεπραξάμην καὶ τί ἂν φανερὸς γενόμενος ὑφ᾽ ὑμῶν ἔπασχον. [§13] πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα οὐχ ὕβρεως ἀλλὰ κέρδους ἕνεκα ποιοῦσι· καὶ ὑμᾶς εἰκὸς οὕτω σκοπεῖν, καὶ τοὺς ἀντιδίκους ἐκ τούτων τὰς κατηγορίας ποιεῖσθαι, ἀποφαίνοντας ἥτις ὠφέλεια τοῖς ἀδικήσασιν ἐγίγνετο. [§14] οὗτος μέντοι οὐκ ἂν ἔχοι ἀποδεῖξαι οὔθ᾽ ὡς ὑπὸ πενίας ἠναγκάσθην τοιούτοις ἔργοις ἐπιχειρεῖν, οὔθ᾽ ὡς τὸ χωρίον μοι διεφθείρετο τοῦ σηκοῦ ὄντος, οὔθ᾽ ὡς ἀμπέλοις ἐμποδὼν ἦν, οὔθ᾽ ὡς οἰκίας ἐγγύς, οὔθ᾽ ὡς ἐγὼ ἄπειρος τῶν παρ᾽ ὑμῖν κινδύνων, εἴ τι τοιοῦτον ἔπραττον. πολλὰς γὰρ ἂν καὶ μεγάλας ἐμαυτῷ ζημίας γιγνομένας ἀποφήναιμι.

**OPPGAVE 1:**

Oversett teksten.

**KANDIDATEN BES SKRIVE TYDELIG MED PENN**

**OPPGAVE 2:** Grammatikk

a) γεωργῶ: kommenter på verbets form og funksjon.

b) ἐκκεκόφθαι: bestem form og oppgi oppslagsform.

c) φάσκοιεν og ἠγανάκτουν ἄν: kommenter på verbenes form og funksjon.

d) τοῦ σηκοῦ ὄντος: Hva slags konstruksjon er det?

d) Kommenter på negasjonene i §14 og forklar reglene for bruk av negasjoner.

**OPPGAVE 3:** Innhold

a) Gi et sammendrag av talens innhold.

b) Gi et sammendrag av talens historiske bakgrunn.

c) Kommentar på μεγάλας … ζημίας i den siste setningen (rettslig og retorisk).